Τυχὼν ἄπεισι διὰ τὴν
Φιλοπατρείαν καὶ σοφίαν,
Παῖς ὁ Φιλοκλέωνος. οὐ-
δενὶ γὰρ οὕτως ἀγανῷ
Ξυνεγενόμην. οὐδὲ τρόποις
Ἐπεμάνην. οὐδ' ἐξεχύθην.
Τί γὰρ ἐκεῖνος ἀντιλέγων,
Οὐ κρείττων ἦν, βουλόμενος
Τοὺς φύσαντας σεμνοτέροις
Κατακοσμῆσαι πράγμασιν;

*A Philocleonis soboles*
*Patris ob amorem sapiens*
*Nunc domum abit: nec vllum enim*
*Adeò honestum atque bonum*
*Iuuenem ego noui, neque quem*
*Magis amarim insano animo.*
*Vbi etenim ille contra alium*
*B Dixit, nec vicit melior?*
*Nunc vult patrem ornare suum*
*Magis & cultum reddere.*

Σχόλια. Φιλοπατρίαν] διὰ τὸ ὑπὲρ τῆς πατρίδος ἠγωνίσθαι ἢ τοῦ πατρός. Ἀγανῷ.] ἱλαρῷ καλῷ κἀγαθῷ. οἱ δὲ ἀθανάτῳ. ἔνθεν καὶ ἀγανοφροσύνη πρᾳότης, πραότης. Ὅμηρος σοῖς ἀγανοῖς ἐπέεσσιν.

## ΟΙΚΕΤΗΣ, ΕΙΤΕ ΘΕΡΑΠΩΝ ΦΙΛΟΚΛΕΩΝΟΣ. ΦΙΛΟΚΛΕΩΝ. Βδελυκλέων.

## C SERVVS SIVE FAMVLVS PHILOCLEONIS, PHILOCLEON, Bdelycleon.

BISETVS. Ὁ Φιλοκλέωνος θεράπων θαυμάζει καινὸν βίου τρόπον, ὅπερ ὁ δεσπότης παρὰ πᾶσαν προσδοκίαν ἐπιτηδεύει.

Οἰ. Νὴ τὸν Διόνυσον ἄπορά γ' ἡμῖν πράγματα
Δαίμων τις εἰσκεκύκληκεν εἰς τὴν οἰκίαν.
Ὁ γὰρ γέρων ὡς ἔπιε διὰ πολλοῦ χρόνου
Ἤκουσέ τ' αὐλοῦ, περιχαρὴς τῷ πράγματι
Ὀρχούμενος τῆς νυκτὸς οὐδὲν παύεται.
Τἀρχαῖ' ἐκεῖν' οἷς Θέσπις ἠγωνίζετο
Καὶ τοὺς τραγῳδούς φησιν ἀποδείξειν κρόνους
Τὸν νοῦν, διορχησόμενος ὀλίγον ὕστερον.
Φι. Τίς ἐπ' αὐλείοισι θύραις θάσσει.
Οἰ. τουτὶ καὶ δὴ χωρεῖ τὸ κακόν.
Φι. Κλῇθρα χαλάσθω τάδε. Οἰ. καὶ γὰρ δὴ
Σχήματος ἀρχὴ
Μᾶλλον δέ γ' ἴσως μανίας ἀρχή.
Φι. Πλευρὰν λυγίσαντος ὑπαὶ ῥώμης.

SER. *Nostras in ædes, Liberum testor patrem,*
*Inuexit aliquis nunc deus res turbidas,*
*Nam potus iste tempore à multo senex*
*D Vt tibiam audit, volupe ducens gaudium*
*Saltare tota nocte nunquam desinet.*
*Quin & Tragœdos autumat probassere*
*Stultæ esse mentis, quum breui saltus dabit.*
*PH. Quis vestibuli sedet in foribus?*
*SER. En hocce malum quò procedit.*
*PH. Age laxentur claustra hæc. SER. Etenim*
*E Schema Tragœdi*
*Incipit aut insani potius.*
*PH. Quod subnexum torquet latera,*

Σχόλια. Εἰσκεκύκληκεν] εἰσήγαγεν.

BISETVS. Εἰσκύκληκεν, ἀντὶ τοῦ εἰσκεκύκληκεν, εἰσήγαγεν, εἰσενήνοχεν, παρὰ τὸ εἰσκυκλεῖν, τὸ κυκλοῦντα εἰσάγειν, εἰσφέρειν, ὡς τοὺς τροχοὺς, καὶ τὰ στρογγύλα, καὶ τὰ σφαιροειδῆ ὠθοῦντες, καὶ κυκλοῦντες εἰς τὰς οἰκίας εἰσφέρομεν.

F CHRIST. Ἔπιε διὰ πολλοῦ χρόνου] Dixerat enim Philocleon prius cùm ad conuiuium iret cũ Symbola, ἵνα μεθυσθῶμεν διὰ χρόνου. Videntur enim facilius inebriari qui contra morem suum & frugalis victus rationem, inuitant sese in cœna plusculum, deinde tibiarum acroasma vt animum reficit, ita perturbationes capitis incalescentis mero adiuuat. Legendum autem proculdubio ἤκουσε τ' αὐλοῦ non αὐτοῦ Et sic inuenio scriptum in Veneto codice, qui tamen sæpe insanum quantum mendosus reperitur. Cæterum dixit οὐδὲν παύεται pro οὐ παύεται, vt Homerus libr. primo Iliad. ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισε.

Σχόλια. Οὐδὲν παύεται.] ὅμοιον τῷ παρ' Ὁμήρῳ. ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν. ἀντὶ τοῦ οὐκ ἔτισεν. Θέσπις] ὁ κιθαρῳδός. οὐ γὰρ δὴ ὁ τραγικός.

CHRIST. Θέσπις ἠγωνίζετο] Thespis hic citharœdus erat, ne quis de Tragico dictum existimet. Quòd verò ait κρόνους τὸν νοῦν, fatuos & stolidos intelligit & verè ὄνους vt de Diodoro dixit Laertius, qui cùm propositas à Stilpone quæstiones Dialecticas non intelligeret, dictus est ioculari scommate κρόνος, vnde si priores duas litteras auferas, manebit ὄνος, Nam & tarda & ἀναίσθητα ingenia sic vocabant. Catullus. Mule nihil sentis. Saturnus antiquiss. deus multis prouerbiis occasionem dedit, vt κρόνου πυγή, κρόνιαι λῆμαι, de quibus vide Adagiorum scriptores. Sic Comicus noster dixit κρονίων & ἀρχαίων ὄζειν, & κρόνιππον magnum nugatorem & delirum.

G Σχόλια. Κρόνους.] ἀρχαίους. μωρούς. λήρους. ἀναισθήτους. Τίς ἐπ' αὐλείοισιν] ὀρχούμενος ὁ γέρων παρατραγικεύεται. σχήματος δὲ τοῦ τραγῳδικοῦ. λυγίσαντος. συστρέψαντος, περιαγαγόντος. ἡ μεταφορὰ ἀπὸ τῶν παλαιόντων. Θεόκριτος.
Κῆπε, τύ θην τὸν ἔρωτα κατεύχεο Δάφνι λυγιξεῖν;
Ἆρ' οὐκ αὐτὸς ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης;

CHRIST. Λυγίσαντος] Rectè sentit, me iu-